Lysistrata proposes a strategy to prevent war that meets with some dissent

Λυσιστράτη	τοὺς πατέρας οὐ ποθεῖτε τοὺς τῶν παιδίων
	ἐπὶ στρατιᾶς ἀπόντας; εὖ γὰρ οἶδ' ὅτι
	πάσαισιν ὑμῖν ἐστιν ἀποδημῶν ἀνήρ.
Καλονίκη	ὁ γοῦν ἐμὸς ἀνὴρ πέντε μῆνας ὦ τάλαν
	ἄπεστιν ἐπὶ Θρᾴκης φυλάττων Εὐκράτη.
Μυρρίνη	ὁ δ' ἐμός γε τελέους ἑπτὰ μῆνας ἐν Πύλῳ.
Λαμπιτῶ	ὁ δ' ἐμός γα καΐ κ' ἐκ τᾶς ταγᾶς ἔλσῃ ποκά,
	πορπακισάμενος φροῦδος ἀμπτάμενος ἔβα.
...	
Λυσιστράτη	ἐθέλοιτ' ἂν οὖν, εἰ μηχανὴν εὕροιμ' ἐγώ,
	μετ' ἐμοῦ καταλῦσαι τὸν πόλεμον;
Καλονίκη	νὴ τὼ θεώ.
	ἔγωγ' ἂν κἂν εἴ με χρείη τοὔγκυκλον
	τουτὶ καταθεῖσαν ἐκπιεῖν αὐθημερόν.
Μυρρίνη	ἐγὼ δέ γ' ἂν κἂν ὡσπερεὶ ψῆτταν δοκῶ
	δοῦναι ἂν ἐμαυτῆς παρατεμοῦσα θἤμισυ.
Λαμπιτῶ	ἐγὼ δὲ καί κα ποττὸ Ταΰγετόν γ' ἄνω
	ἕλσοιμ' ὅπᾳ μέλλοιμί γ' εἰράναν ἰδεῖν.
Λυσιστράτη	λέγοιμ' ἄν: οὐ δεῖ γὰρ κεκρύφθαι τὸν λόγον.
	ἡμῖν γὰρ ὦ γυναῖκες, εἴπερ μέλλομεν
	ἀναγκάσειν τοὺς ἄνδρας εἰρήνην ἄγειν,
	ἀφεκτέ' ἐστὶ--
Καλονίκη	τοῦ; φράσον.
Λυσιστράτη	ποιήσετ' οὖν;
Καλονίκη	ποιήσομεν, κἂν ἀποθανεῖν ἡμᾶς δέῃ.
Λυσιστράτη	ἀφεκτέα τοίνυν ἐστὶν ἡμῖν τοῦ πέους.
	τί μοι μεταστρέφεσθε; ποῖ βαδίζετε;
	αὖται τί μοιμυᾶτε κἀνανεύετε;
	τί χρὼς τέτραπται; τί δάκρυον κατείβεται;
	ποιήσετ' ἢ οὐ ποιήσετ'; ἢ τί μέλλετε;
Καλονίκη	οὐκ ἂν ποιήσαιμ', ἀλλ' ὁ πόλεμος ἑρπέτω.

Aristophanes Lysistrata 119-130

1B Seen